BYZANTINE GREEK SERIES · VOLUME 23

Kallimachos and Chrysorrhoe

ΤΟ ΚΑΤΑ ΚΑΛΛΙΜΑΧΟΝ ΚΑΙ ΧΡΥΣΟΡΡΟΗΝ ΕΡΩΤΙΚΟΝ ΔΙΗΓΗΜΑ

ΔΙΗΓΗΣΙΣ ΕΞΑΙΡΕΤΟΣ ΒΕΛΘΑΝΔΡΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ

ΔΙΗΓΗΣΙΣ ΤΟΥ ΑΧΙΛΛΕΩΣ

Kallimachos and Chrysorrhoe

With Belthandros and Chrysantza and the Achilleid

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 23 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Kallimachos and Chrysorrhoe in Spyridon Lambros, Collection de romans grecs en langue vulgaire et en vers (Paris, 1880); Belthandros and Chrysantza in Émile Legrand, Bibliothèque grecque vulgaire I (Paris, 1880); the Achilleid in D.-C. Hesseling, L'Achilléide byzantine (Amsterdam, 1919)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The texts are the editors', with their capitals and punctuation. Their supplements print without their brackets, and words Lambros encloses as unmetrical are not printed; three asterisks mark a lacuna, and a query in parentheses is his. The Achilleid prints whole, the verses Hesseling encloses as interpolated included and his brackets not printed. The margins give each edition's verse numbers.

CONTENTS

KALLIMACHOS AND CHRYSORRHOE

I · The Three Princes 9
II · The Dragon's Castle 21
III · The Hanging Maiden 40
IV · Chrysorrhoe's Story 54
V · The King Sees Chrysorrhoe 67
VI · The Witch 85
VII · The Golden Apple 97
VIII · The Brothers 105
IX · The Gardener's Hireling 115
X · The Ring in the Tree 128
XI · The Bower 141
XII · The Lovers in the Garden 155
XIII · The Eunuchs' Letter 164
XIV · The Judgment 178

BELTHANDROS AND CHRYSANTZA

I · Belthandros Leaves Home 199
II · The River of Fire 208
III · The Castle of Love 219
IV · The Judgment of Beauty 233
V · Antioch 246
VI · Phaedrokaza 257
VII · The Flight 267
VIII · The Return 279

THE ACHILLEID

I · The Birth of Achilles 297
II · The Tournament 305
III · The Twelve 312
IV · The War with the King 323
V · The Princess at the Wall 338
VI · The Garden 346
VII · The Letters 356
VIII · The First Night 369
IX · The Abduction 381
X · The Reconciliation 388
XI · The Wedding 399
XII · The Death of the Princess 406
XIII · The Death of Achilles 421

ΤΟ ΚΑΤΑ ΚΑΛΛΙΜΑΧΟΝ ΚΑΙ ΧΡΥΣΟΡΡΟΗΝ ΕΡΩΤΙΚΟΝ ΔΙΗΓΗΜΑ

Kallimachos and Chrysorrhoe

The poet warns that love mingles sweetness with grief. A barbarian king, unwilling to prefer any of his three sons, sends them out with armies and treasure: whoever shows the greatest prowess will have the crown. They reach a mountain above the clouds, and the elder two would turn aside, but the third shames them. Leaving the army behind, the brothers climb for three months, rest in a meadow, press on at the youngest's urging, and come to a dreadful castle, the dragon's.

Τοῦ προοιμίου πρόρρησις, ὡς ἔχει τὰ τοῦ κόσμου.
Of-the proem (the)-foretelling how stand the(-things) of-the world
Ἀρχόμεθα διήγησιν τινὸς πειραζομένου
We-begin (a)-tale of-one being-tried
καρδιακοῦ καὶ πρακτικοῦ καὶ πολυαγαπημένου.
heartfelt and active and much-loved
Λύπης ἀμέτοχον οὐδὲν τῶν πολιτευομένων
Of-grief without-share nothing of-the(-things) conducted
καὶ πραττομένων περὶ γῆν καὶ τῶν ἐνεργουμένων.
and done on earth and of-the(-things) wrought
Χαρὰ καὶ λύπη σύμμικτα, ἀλλὰ καὶ κεκραμένα·
Joy and grief mingled but also blended
οὐδὲν γὰρ λύπης τὸ καλὸν καὶ τὸ τερπνὸν ἐκλείπει,
not for of-grief the good and the delightful is-free
ὥσπερ οὐδ' ἀπὸ τῆς χαρᾶς τὸ λυπηρὸν πολλάκις.
just-as not-even from the joy the grievous often
Πρὸς δόξαν, πρὸς λαμπρότηταν, πρός τε τιμὴν καὶ πλοῦτον,
In glory in splendor in both honor and wealth
πρὸς κάλλος καὶ πρὸς φρόνησιν, πρὸς γνῶσιν,
in beauty and in prudence in knowledge
πρὸς ἀνδρείαν,
in courage

πρὸς ἔρωταν, πρὸς καλλονὴν, πρὸς εἶδος εὐπρεπείας,
in love in loveliness in form of-comeliness
ἅπερ προσφέρουσιν χαρὰν ἐνήδονον καὶ τέρψιν,
which bring joy delightful and pleasure
ἐν τούτοις ἴδῃς κίνδυνον μέσον τούτοις καὶ ψόγον,
in these you-may-see danger amid these and blame
ἐλάττωμα καὶ πρόσκρουμα, τὰ προξενοῦντα λύπην,
defect and offense the(-things) causing grief
εἰ μὴ καὶ μόνον στέρησιν τῶν ποθουμένων εἴποις.
if not also only (the)-loss of-the(-things) longed-for you-would-name
Πόθος γὰρ πόθου στερηθεὶς ὑπομονὴν οὐκ ἔχει,
Longing for of-longing deprived patience not has
τῶν δ' ἄλλων ἔχει μέριμναν ἂν εἴποις οὐδεμίαν.
of-the and other(-things) it-has care — you-would-say none
Ὡς γὰρ ἐνστάζει χάριτας ἔρως ἐν ἄλλοις πᾶσιν,
As for instills delights love in others all
οὕτως ἐν μόνῳ χωρισμῷ γέμει πολλὰς πικρίας.
so in only separation it-is-full-of many bitternesses
Ὅμως ἂν ἴδῃς τὴν γραφὴν καὶ τὰ τοῦ στίχου μάθῃς,
Yet if you-see the writing and the(-things) of-the verse you-learn
ἔργοις γνωρίσῃς ἔρωτος γλυκοπικρὰς ὀδύνας·
in-deeds you-will-know of-love bittersweet pains
τοῦτο γὰρ φύσις ἔρωτος, τὸ σύμμικτα γλυκαίνειν.
this for (the)-nature of-love the mingled(-things) to-sweeten
Ἀλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος ἀνακτέος.
But to the proposed the tale must-be-led-back
Ἀρχὴ τῆς ὑποθέσεως λοιπὸν καὶ τῶν ἐνταῦθα.
Beginning of-the story then and of-the(-things) here
Βάρβαρος γάρ τις βασιλεὺς, δυνάστης ἐπηρμένος,
Barbarian for a-certain king potentate proud

πολλῶν χρημάτων ἀρχηγὸς, πολλῶν χωρῶν αὐθέντης,
of-much wealth master of-many lands lord
τὴν ἔπαρσιν ἀβάσταγος, ἀγέρωχος τὸ σχῆμα,
in-the pride insufferable haughty in-the bearing
τρεῖς παῖδας ἔσχεν εὐειδεῖς, ἠγαπημένους πλεῖστα,
three sons he-had handsome loved most
εἰς κάλλος καὶ εἰς σύνθεσιν ἐρωτοφορουμένους
in beauty and in build love-inspiring
καὶ τἄλλα πάντα θαυμαστοὺς, γενναίους εἰς ἀνδρείαν·
and in-the-rest all admirable noble in courage
οὓς βλέπων ἴσους ὁ πατὴρ εἰς τὴν εὐαρμοστίαν,
whom seeing equal the father in the harmony
εἰς κάλλος, εἰς ἀνανδρομὴν καὶ πᾶσαν εὐανδρίαν,
in beauty in stature and every manliness
ἐπ᾽ ἴσης εἶχεν πρὸς αὐτοὺς τὴν πατρικὴν ἀγάπην.
on equal(-terms) he-had toward them the fatherly love
Τὸν πρῶτον ἤθελεν ἰδεῖν τοῦ στέφους κληρονόμον,
The first he-wished to-see of-the crown heir
τὸν δ᾽ ἄλλον πάλιν ἤθελεν συγκληρονόμον τούτου
the and other again he-wished co-heir of-him
καὶ πρὸς τὸν τρίτον τὴν ἀρχὴν τῆς αὐτοκρατορίας
and to the third the rule of-the sovereignty
μεταγαγεῖν ἐπείγετο μετὰ πολλοῦ τοῦ πόθου.
to-transfer he-was-eager with much the longing
Πάντας ἀξίους ἔκρινεν τοῦ στέφους καὶ τοῦ κράτους,
All worthy he-judged of-the crown and of-the power
— ἕτερον γὰρ οὐκ ἤθελεν προκρίνειν τοῦ ἑτέρου· —
one for not he-wished to-prefer over-the other

πρὸς πάντας δὲ μεταγαγεῖν τὴν αὐτοκρατορίαν
to all and to-transfer the sovereignty
ὡς ταραχῶδες καὶ πολλὴν εἰσάγον τρικυμίαν
as troublesome and much bringing-in storm
οὐκ εἶδεν ἐνδεχόμενον, οὐκ ἔκρινε συμφέρον.
not he-saw possible not he-judged expedient
Κάθεται οὖν βασιλικῶς, κράζει λοιπὸν τοὺς παῖδας
He-sits then royally he-calls then the sons
καὶ ταῦτα λέγει πρὸς αὐτοὺς μετὰ μεγάλου σπλάγχνους·
and these(-things) he-says to them with great tenderness
«Τέκνα, ψυχῆς μου κόσμημα καὶ τῶν σαρκῶν μου μέλη,
Children of-soul my adornment and of-the flesh my limbs
ἐγὼ τὸ στέμμα, τὴν ἀρχὴν, τὴν δόξαν καὶ τὸ κράτος
I the crown the rule the glory and the power
μεταβιβάσαι πρὸς ὑμᾶς καὶ μεταστρέψαι θέλω,
to-hand-over to you and to-turn-over wish
ἀλλ' ἔν' τὸ φίλτρον εἰς τοὺς τρεῖς, ἴσον τὸ σπλάγχνος ὅλων,
but is the affection toward the three equal the tenderness of-all
καὶ τίναν προτερήσωμαι, τίναν καὶ κρίνω πρῶτον
and whom I-should-prefer whom and I-should-judge first
οὐκ οἶδα, καὶ τοῦ στέμματος τίναν δεσπότην θέσω·
not I-know and of-the crown whom master I-should-set
πρὸς πάντας δὲ μεταγαγεῖν τὴν αὐτοκρατορίαν
to all and to-transfer the sovereignty
οὐ θέλω, θέλων ἄμαχον τὸ στέφος καὶ τὸ κράτος
not I-wish wishing uncontested the crown and the power
ἔσεσθαι, μένειν τοῦ λοιποῦ καὶ τοῦ παρέκει χρόνου.
to-be to-remain for-the future and for-the further time
Τὸ γὰρ ἐπίκοινον καλὸν καὶ ταραχὴν εἰσάγει·
The for shared good also trouble brings-in

ὡς γὰρ οὐκ ἔχει τὸ κοινὸν ἐπὶ τοῦ πόθου χώραν,
as for not has the shared in the love place
οὕτως οὐδ' ἐπὶ τῆς ἀρχῆς τὴν αὐτοκρατορίαν.
so not-even in the rule the sovereignty
Ἰδοὺ καὶ χρήματα πολλὰ, στρατηγικαὶ δυνάμεις
Behold and money much military forces
καὶ τἄλλα τὰ φερόμενα πρὸς τὰς ἀνδραγαθίας
and the-rest the(-things) conducing to the brave-deeds
καὶ θησαυροὶ καὶ πράγματα καὶ πλῆθος τοῦ φουσσάτου·
and treasures and goods and (the)-host of-the army
πορεύεστε, κινήσατε μετὰ πολλῶν χρημάτων
go set-out with much wealth
καὶ τἄλλα ὅσα θέλετε τὰ πρὸς ὑπηρεσίαν.
and the-rest as-much-as you-wish the(-things) for service
Ὅστις πολλὴν ἐνδείξηται στρατηγικὴν ἀνδρείαν
Whoever great displays military courage
καὶ δύναμιν καὶ σύνεσιν καὶ φρόνησιν ἀξίαν
and strength and understanding and prudence worthy
καὶ πρᾶξιν ἐπιδείξηται τὴν βασιλικωτάτην
and (a)-deed displays the most-kingly
καὶ σταίσῃ μέγα τρόπαιον ἐξ ἀνδραγαθημάτων,
and sets-up great trophy from brave-deeds
ἐκεῖνον δώσω τὴν ἀρχὴν τῆς αὐτοκρατορίας
to-him I-will-give the rule of-the sovereignty
καὶ στέψω τοῦτον, ἀντ' ἐμοῦ ποιήσω βασιλέαν.»
and I-will-crown him in-place-of me I-will-make king
Οὐδεὶς ἀποδυσπέτησεν πρὸς τοῦ πατρὸς τοὺς λόγους,
No-one complained at of-the father the words
πρὸς τοῦ πατρὸς τοὺς ὁρισμοὺς καὶ τὰς παραγγελίας·
at of-the father the commands and the charges

ἀλλὰ μετὰ γλυκύτητος, μετὰ πολλῆς ἀγάπης,
but with sweetness with much love
μετὰ καλοῦ θελήματος, μετὰ καλῆς καρδίας,
with good will with good heart
μετὰ πολλῶν παραταγῶν, μετὰ πολλοῦ φουσσάτου,
with many troops with much army
μετὰ πολλῆς κατασκευῆς, μετὰ πολλῶν ἁρμάτων
with much equipment with many arms
ἀπεχαιρέτησαν εὐθὺς, κοινῶς οἱ τρεῖς κινοῦσιν.
they-took-leave at-once together the three set-out
Καὶ πρὸς τὴν ἔξοδον λοιπὸν οἱ τρεῖς μετακινοῦσιν.
And to the departure then the three move-off
Παρῆλθον τόπους ἱκανοὺς, πολλοὺς καὶ δυσβατώδεις
They-passed places a-good-many many and hard-to-pass
καὶ τέλος, ἵνα τὰ πολλὰ τοῦ στίχου παραδράμω,
and (in-the)-end that the much of-the verse I-may-pass-over
κατήντησαν, ἐφθάσασιν εἰς ἐρημοτοπίαν,
they-came they-arrived at (a)-wilderness
εἰς ἀνεπίβατον βουνὸν, εἰς ὀρεινὸν κρημνώδη.
at (an)-unclimbable mountain at (a)-hilly precipice
Ἦν ὁ βουνὸς ὑπερνεφὴς, ἀνάβασιν οὐκ εἶχεν,
Was the mountain above-the-clouds ascent not it-had
σκληρὸς, λιθώδης, σκοτεινὸς, ἄγριος, φόβον ἔχων.
hard stony dark wild fear having
Εὐθὺς ζητοῦσι τὴν βουλὴν τί πράξουν, τί ποιήσουν.
At-once they-seek the counsel what they-should-do what they-should-make
Ὁ πρῶτος εἶπεν· «ὁ βουνὸς ἀνάβασιν οὐκ ἔχει·
The first said the mountain ascent not has
πολὺ γὰρ τοῦτο τοῦ βουνοῦ τὸ ὕψος ἀναβαίνει·
much for this of-the mountain the height rises

ἂν εἴποις καὶ πρὸς οὐρανὸν ἡ κορυφή του φθάνει
— *you-would-say even to heaven the summit its reaches*
καὶ τὰ δενδρὰ προσφέρουσιν εἰς οὐρανὸν τοὺς κλώνους.
and the trees put-forth to heaven the branches
Μεταχωρήσωμεν λοιπὸν ἀπὸ τοῦ τόπου τούτου·
Let-us-move-away then from the place this
εἰς ἄλλον τόπον ὁμαλὸν κινήσωμεν, ἐπᾶμεν.»
to other place level let-us-set-out let-us-go
Τοῦτον τὸν λόγον παρευθὺς ὁ δεύτερος ἀκούσας
This the word at-once the second having-heard
εἶπε· «συντρέχω τὴν βουλήν· μεταχωρῶ τοῦ τόπου.
said I-concur-with the counsel I-move-away from-the place
Τίς γὰρ βουνὸν ὑπέρνεφον, πετρολιθώδη τόπον,
Who for mountain above-the-clouds rocky place
ὄρος ἀνεπιχώρητον, οὐρανομήκη δένδρα
mountain impassable heaven-high trees
μετὰ φουσσάτου καὶ πολλῶν ἰδοὺ τῶν φορτωμάτων,
with army and many behold of-the loads
μετὰ πολλῆς παράταξις, καμήλων ἀμετρήτων,
with much array of-camels countless
ἀνέβη τόσον ὕψωμα καὶ τηλικοῦτον ὄρος;
climbed so-great (a)-height and so-vast mountain
Εἰ γὰρ ἐγγύσε τοῦ βουνοῦ, τοῦ τηλικούτου τόπου
If for near-to the mountain of-the so-vast place
ἦσαν οἰκοῦντες ἄνθρωποι, πάντως τὰ ξύλα ταῦτα
were dwelling men surely the trees these
εἶχόν τινα κατάλυσιν, τινὰ καινοτομίαν·
would-have some felling some fresh-cutting
ἢ κἂν ἰχνάριν κυνηγοῦ ποσῶς νὰ ἐγνωρίσῃς.
or at-least (a)-track of-(a)-hunter at-all that you-might-recognize

Πλὴν ὁ βουνὸς ἐρήμωσιν τὴν ἐξ ἀνθρώπων ἔχει.»
But the mountain desolation the of men has

Ὁ τρίτος εἶπεν· «ἄνανδρον κρίνω τὸ πρᾶγμα τοῦτο·
The third said unmanly I-judge the thing this

κἂν εἴ τι πάθω, κἂν αὐτὸν ἴδω τὸν θάνατόν μου,
even if anything I-suffer even-if itself I-see the death my

οὐ δειλανδρήσω πρὸς βουνὸν, οὐ φοβηθῶ τὸν τόπον.
not I-will-play-the-coward before (a)-mountain not I-will-fear the place

Εἰ γὰρ νικήσει με βουνὸς, τρέψει με μόνον τόπος,
If for will-defeat me (a)-mountain will-rout me only (a)-place

πῶς ἀντιπαρατάξομαι καὶ πῶς ἀνδραγαθήσω
how I-will-stand-in-battle and how I-will-show-prowess

Καὶ τοῦ πατρὸς τοὺς ὀφθαλμοὺς τοῦ φοβεροῦ ἐκείνου
And of-the father the eyes of-the fearsome that

πῶς ἀτενίσω, πῶς ἰδῶ καὶ πῶς ἐνατενίσω;
how I-shall-gaze how I-shall-see and how I-shall-look-upon

καὶ τοῦ πατρὸς τὸν ὁρισμὸν, τὴν συμβουλὴν ἐκείνου,
and of-the father the command the counsel his

τὴν συμβουλὴν τὴν εὔλογον λοιπὸν ἀπελαθόμην,
the counsel the reasonable then I-forgot

καὶ κλῆρον, τὸ βασίλειον τὸ πατρικὸν ἐκεῖνο,
and (the)-inheritance the kingdom the paternal that

βουνὸς καὶ φύσις ἄψυχος ἀπῆρέ με, στερεῖ με;
(a)-mountain and nature soulless took-away me deprives me

Ὦ πάτερ, πάτερ βασιλεῦ, παῖδας ἀνάνδρους ἔχεις,
O father father king sons unmanly you-have

ἂν πρὸ πολέμου τρέπονται καὶ φεύγουσι πρὸ μάχης.
if before war they-turn and flee before battle

Μετάθες οὖν πρὸς ἕτερον τὴν αὐτοκρατορίαν,
Transfer then to another the sovereignty

εἰς ἄλλον, μὴ τοῦ γένους σου μηδὲ τῶν σῶν αἱμάτων,
to another not of-the race your nor of-the your bloods
εἰς ἄλλον, ξένον ἄνθρωπον, ὅμως ἀνδρώδη φύσει,
to another strange man yet manly by-nature
ἡμᾶς δ' ἐξάφες, βασιλεῦ, μηδ' ὀνομάσῃς παῖδας.
us and let-go king nor name sons
Ἡμεῖς γὰρ, ὡς ἐφάνημεν ἀπὸ τῶν ἔργων τούτων,
We for as we-have-appeared from the deeds these
γυναίων φύσιν ἔχομεν, φοβούμεθεν τὰ ξύλα.
of-women (the)-nature we-have we-fear the trees
Αἰσχύνομαι τοὺς στρατηγοὺς καὶ τοῦ στρατοῦ τὸ πλῆθος,
I-am-ashamed-before the generals and of-the army the host
αἰσχύνομαι πρὸ τοῦ στρατοῦ τὴν πατρικὴν ἀνδρείαν.
I-am-ashamed before the army for-the fatherly courage
Καὶ σὺ δὲ, πάτερ βασιλεῦ, φυγάδας πάντας βλέπων,
And you too father king fugitives all seeing
οὐκ οἶδα πόθεν φεύγοντας, τρεμμένους, ἡττημένους,
not I-know from-where fleeing trembling defeated
τίναν καὶ δώσῃς τὴν ἀρχὴν, τίναν καὶ στέψῃς πρῶτον;
to-whom and you-give the rule whom and you-crown first
Ἐγὼ, κἂν εἴ τι γένηται, μετὰ δειλῆς καρδίας
I even if anything happens with cowardly heart
οὐκ ἴδω τὸν πατέρα μου, τὸ γένος οὐκ αἰσχύνω,
not I-will-see the father my the race not I-will-shame
οὐδ' ἀπολέσω σήμερον τὴν αὐτοκρατορίαν
nor I-will-lose today the sovereignty
ἐξ ἀνάνδρου θελήματος, ἀπὸ δειλῆς καρδίας.
from unmanly will from cowardly heart

Ἀλλ᾽ ἂν στολαὶ, παραταγαὶ καὶ πλῆθος τοῦ φουσσάτου
But if gear troops and (the)-host of-the army
καὶ τἄλλα τὰ πολυτελῆ καὶ τῶν χρημάτων βάρη
and the-rest the costly(-things) and of-the money loads
ἀναδραμεῖν οὐ δύνανται τὴν δυσκολοτοπίαν
to-run-up not can the rough-ground
καὶ τοῦ βουνοῦ τὸ δυσχερὲς, τὴν συμμικτοδενδρίαν,
and of-the mountain the difficulty the tangle-of-trees
φουσσάτον μὲν καὶ στρατηγοὶ, κάμηλοι, ζεύγη, σκεύη
army indeed and generals camels teams gear
καὶ τἄλλα πάντα σήμερον ἂς ἔχουν καταστόλιν,
and the-rest all today let they-have rest
ἡμεῖς δὲ μόνοι μετ᾽ αὐτῶν ὧν ἔχομεν ἁρμάτων
we and alone with those which we-have arms
καὶ μετὰ τῶν ἀλόγων μας καὶ τῶν συρτῶν μας μόνον
and with the horses our and the led-horses our only
ὡς ἄνδρες ἀναδράμωμεν ὀρεινοπετροβούνιν.»
as men let-us-run-up (the)-rock-mountain

Τοῦ τρίτου πάντες ἔκριναν τοὺς λόγους προτεροῦντας.
Of-the third all judged the words prevailing
Οἱ πρῶτοι γοῦν τῶν ἀδελφῶν πρὸς τοὺς τοῦ τρίτου λόγους
The first then of-the brothers at the of-the third words
ἠσχύνθησαν, ἡττήθησαν, εἶπον· «γενέσθω τοῦτο.»
were-ashamed were-defeated said let-be-done this

Εὐθὺς ἡ πᾶσα δύναμις καὶ τὸ τοσοῦτον πλῆθος
At-once the whole force and the so-great host
καὶ τἄλλα τὰ φερόμενα τὰ πρὸς ὑπηρεσίαν
and the-rest the(-things) carried the(-things) for service
καὶ θησαυροὶ καὶ φύλακες καὶ πλῆθος τοῦ φουσσάτου
and treasures and guards and (the)-host of-the army
ἐφόρτωσαν, ἐκίνησαν, ἐστράφησαν ὀπίσω.
loaded set-out turned back
Ἀνέτρεχον, ἀνέβαινον ἐφ' ἱκανὰς τὰς ὥρας·
They-ran-up they-climbed for many the hours
καὶ μόλις εἰς τὴν κορυφὴν ἀνέβησαν ἐπάνω
and barely to the summit they-climbed up
— μετὰ καιροῦ παραδρομὴν ὡσεί που τριμηναίου
after of-time (a)-passing as-it-were some of-three-months
οἱ τρεῖς ὁμοῦ τὴν κορυφὴν κατέλαβον τοῦ ὄρους —
the three together the summit reached of-the mountain
καὶ τόπον εὗρον εὔνοστον καὶ κεχαριτωμένον,
and (a)-place found pleasant and graceful
λιβάδιν ἄλλης χάριτος, παράξενον ὁκάτι
(a)-meadow of-other grace strange something
καὶ κρυσταλλώδην ποταμὸν πρὸς τὸ λιβάδιν μέσον,
and crystalline river in the meadow midst
ῥόδα καὶ κρίνα σύμμικτα κάτωθεν ἐστρωμένα,
roses and lilies mingled below strewn
ἄνθη φυτῶν παντοδαπῶν ὅσα ψυχὴν ἁρπάζει.
flowers of-plants of-all-kinds as-many-as soul ravish
Ἐπέζευσαν, ἐκάθησαν, ἀνέσαναν ὀλίγον,
They-dismounted they-sat they-rested (a)-little
τοὺς ἵππους ἀπεστρώσασιν εἰς τὸ λιβάδιν μέσα,
the horses they-unsaddled in the meadow within

ἐθαύμασαν τὴν ἡδονὴν τοῦ τόπου καὶ τὴν χάριν,
they-marveled-at the pleasantness of-the place and the grace
ἐκ τὸ νερὸν ἐνίψαντο. Πάλιν ὁ τρίτος λέγει·
from the water they-washed Again the third says

Λόγοι καὶ πάλιν συμβουλῆς τοῦ τρίτου πρὸς τοὺς ἄλλους
Words also again of-counsel of-the third to the others
τοὺς πρωτεινοὺς τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ Καλλιμάχου.
the elder the brothers himself — of-Kallimachos
«Μὴ μέχρι τούτου στήσωμεν τὸν κόπον καὶ τὸν δρόμον·
Not until this let-us-stop the toil and the road
τί γὰρ πρὸς τὸ παράγγελμα τὸ πατρικό μας τοῦτο
what for to the command the fatherly our this
καὶ τί πρὸς ἀνδραγάθημα ἐτοῦτο τὸ λιβάδιν
and what to (a)-brave-deed this the meadow
καὶ βλέπειν ἄνθη καὶ φυτά, ῥόδα τε καὶ τὰ κρίνα;
and to-see flowers and plants roses both and the lilies
Πρὸς ὁρισμοὺς καὶ συμβουλὰς καὶ πατρικὰς θελήσεις
To commands and counsels and fatherly wishes
καὶ πρὸς ἐλπίδα στέμματος τοῦ βασιλικωτάτου
and to (the)-hope of-(a)-crown the most-royal
οὐ συντελοῦσι χάριτες οὐδὲ τερπνότης τόπων.»
not contribute charms nor delightfulness of-places
Πρὸς ταύτην οὖν τὴν συμβουλὴν
At this then the counsel
καὶ πρὸς τοὺς λόγους τούτου
and at the words his
ἀφίνουσιν τὰς χάριτας ὅσας ὁ τόπος εἶχεν
they-leave the charms as-many-as the place had
καὶ πάλιν ἁρματόνουνται καὶ πάλιν ὑπαγαίνουν·
and again they-arm-themselves and again they-go

καὶ μετὰ στράταν ἱκανὴν ἄρχει(;) κρημνώδης τόπος
and after road long begins (a)-precipitous place
εἰς ὃν οὐδόλως ἄνθρωπος ὑπέφανεν ποτέ του,
in which not-at-all man appeared ever —
ἀλλ' οὐδὲ θὴρ οὐδὲ πτηνὸν οὐδὲ κνωδάλου φύσις·
but not-even beast nor bird nor of-creature (a)-kind
καὶ μετὰ τὴν παραδρομὴν καὶ τοῦ τοσούτου τόπου
and after the passing also of-the so-great place
εἰς κάστρον κατηντήσασιν μέγα, φρικτὸν καὶ ξένον.
at (a)-castle they-arrived great dreadful and strange
Οἱ τρεῖς ὁμοῦ κατήντησαν, ἔφθασαν εἰς τὸ κάστρον,
The three together arrived reached to the castle
αὐτὸ τὸ δρακοντόκαστρον τὸ φοβερὸν καὶ μέγα.
itself the dragon-castle the fearsome and great

II · THE DRAGON'S CASTLE

The golden castle is guarded by living snakes at its gates. The elder brothers judge it unassailable and turn back, but the third will see the beauty within. The eldest gives him a ring that grants wings when placed in the mouth, and they part in tears. Vaulting the wall on his spear, Kallimachos finds a deserted garden and bath, mirrors, a golden ornament, perfumed doors, a furnace burning by itself, laden tables, and the dragon's chamber, its roof painted with the heavens and the gods.

Ἔκφρασις πανεξαίρετος, τοῦ δράκοντος τὸ κάστρον.
Description most-excellent of-the dragon the castle
Τὸ τεῖχος ἦτον ὑψηλὸν, ὁλόχρυσον ἀπέξω,
The wall was high all-golden outside

καὶ τοῦ χρυσοῦ τὸ καθαρὸν, τὸ στίλβον τὸ τοῦ κάλλους
and of-the gold the pureness the gleaming the of-the beauty
ἐνίκα πάσας ἐκ παντὸς ἡλιακὰς ἀκτῖνας·
surpassed all in every-way solar rays
τὸ δέ γε σφυρηλάτημα τῶν ἀκροπυργωμάτων
the and indeed hammered-work of-the battlements
ἀπὸ συμμίκτου καὶ χρυσοῦ καὶ λίθων καὶ μαργάρων.
of mingled and gold and stones and pearls
Οὕτως τὸ κάστρον πάντερπνον. Αἱ δὲ τοῦ κάστρου πύλαι
Thus the castle all-delightful The and of-the castle gates
μέγα τι πρᾶγμα καὶ φρικτὸν καὶ κάλλος μετὰ φόβου·
great some thing and dreadful and beauty with fear
χρυσὸς καὶ λιθομάργαροι, πλὴν τῶν προτιμητέων,
gold and stones-and-pearls besides the precious
τῶν πολυτίμων, τῶν καλῶν καὶ τῶν ἐνδοξοτέρων,
the costly the fine and the more-glorious
καὶ τάξιν ἐπαρμόζουσιν πρὸς εἶδος ἐξομπλίου.
and order they-fit to (the)-form of-(a)-pattern
Ἀλλ' οὐχ ἁπλῶς καὶ τυχερῶς εἶχον τὴν ἁρμονίαν·
But not simply and by-chance had the harmony
καὶ ζῶντες ὄφεις εἰς αὐτὰς τὰς κεκλεισμένας πύλας,
and living snakes at very the closed gates
ὄφεις μεγάλοι, φοβεροὶ καὶ θῆρες παρὰ φύσιν
snakes great fearsome and beasts beyond nature
ἄγρυπνοι φύλακες ὀξεῖς τοῦ τηλικούτου κάστρου
sleepless guards keen of-the so-great castle
ὁρμῶσι, δράκοντες φρικτοὶ καὶ πυλωροὶ θηρία,
rush dragons dreadful and gatekeeper beasts
ἅ τις ἰδὼν ἀπέθανεν ἀπὸ τοῦ φόβου μόνου.
which anyone seeing died from the fear alone

Τοῦ κάστρου τὴν λαμπρότηταν καὶ τῶν πυργοδωμάτων
Of-the castle the splendor and of-the tower-buildings
ὡς εἶδον, ἐξεπλάγησαν, ἐθαύμασαν ἐκεῖνοι·
when they-saw were-astounded marveled they
εἶδον χρυσοῦ λαμπρότητα καὶ λίθων καὶ μαργάρων
they-saw of-gold (the)-splendor and of-stones and of-pearls
καὶ πᾶσαν ἄλλην καλλονὴν ὅσην τὸ κάστρον εἶχεν.
and all other beauty as-much-as the castle had
Ἀλλ' ἦν τὸ τεῖχος ὑψηλὸν, εἰσέλευσιν οὐκ εἶχεν·
But was the wall high entry not it-had
ἄνθρωπος οὐ παρέτρεχεν, οὐδὲ θηρίου φύσις,
man not passed nor of-beast (a)-kind
οὐδὲ πτηνὸν, οὐδὲ στρουθός· ἄγριος ἦν ὁ τόπος.
nor bird nor sparrow wild was the place
Ἀνέτρεχον, παρέτρεχον, τὴν εἴσοδον ἐζήτουν·
They-ran-up they-ran-past the entrance they-sought
εἶχεν γὰρ πύργους ὑψηλοὺς, οὐρανομήκεις τοίχους.
it-had for towers high heaven-high walls
Εὗρον τὰς πόρτας τὰς λαμπρὰς τούτου, τὰς πολυτίμους,
They-found the gates the splendid its the precious
εἶδον τοὺς ὄφεις, ἔφριξαν τοὺς πυλωροὺς ἐκείνους.
they-saw the snakes shuddered-at the gatekeepers those
Οὐκ ἔγνωσαν τὴν φοβερὰν καὶ θαυμασίαν πόλιν,
Not they-knew the fearsome and marvelous city
τίνος τὸ κάστρον τὸ λαμπρὸν, τίνα δεσπότην ἔχει.
whose the castle the splendid what master it-has
Οἱ μὲν γὰρ ἐπεστράφησαν, ἐστάλησαν ὀπίσω,
They indeed for turned-back drew-back back

τάχα μὴ γένωνται τροφὴ τῶν πυλωρῶν ἐκείνων,
perhaps lest they-become food of-the gatekeepers those
εἶδαν, ἐξεθαββήθησαν, ἐτράπησαν, ἐφύγαν.
they-saw were-amazed turned fled
Στάσις καὶ λόγος καὶ βουλή, πρὸς τὴν βουλὴν καὶ πρᾶξιν
Stand and speech and counsel toward the counsel and deed
ὁμοῦ τριῶν τῶν ἀδελφῶν, αὐτοῦ τοῦ Καλλιμάχου.
together of-three of-the brothers himself — of-Kallimachos
Ὁ πρῶτος εἶπεν· «ἐκ παντὸς ἰδοὺ τὸ κάστρον τοῦτο
The first said in every-way behold the castle this
ἄμαχον, ἀνυπόστατον, ἀδούλωτον καθόλου·
unfightable irresistible unconquerable altogether
τίς καταστήσει πόλεμον καὶ τίς κινήσει μάχην
who will-set-up war and who will-move battle
καὶ τίς συστήσει ταραχὴν μετὰ θηρίων φύσιν;
and who will-raise strife with of-beasts (the)-nature
Βλέπω παντὸς ἀπὸ χρυσοῦ τὸ κάστρον μὲ μαργάρων
I-see all from gold the castle with pearls
καὶ λίθων πολυτέλειαν πολλῶν συσκευασμένον,
and of-stones costliness many furnished
ὄφεις μεγάλοι καὶ φρικτοὶ καὶ παρὰ φύσιν πρᾶγμα
snakes great and dreadful and beyond nature (a)-thing
ἄγρυπνοι νὰ φυλάσσουσιν τὸ κάστρον καὶ προσέχουν,
sleepless that they-guard the castle and watch
καὶ, συνεικάζων κατὰ νοῦν, ἁπάντων τούτων ἕνι
and conjecturing in mind of-all these is
ἄρχων, αὐθέντης, βασιλεὺς ἀνθρωποφάγος δράκων.
ruler lord king man-eating dragon
Βλέπετε καὶ σκοπήσετε, στρέψετε κατὰ νοῦ σας,
See and consider turn in mind your

μὴ νικηθῶμεν τῷ χρυσῷ καὶ τοῖς μαργάροις τούτοις.
lest we-be-overcome by-the gold and by-the pearls these
Ἂν γοῦν θελήσωμεν χρυσοῦ καὶ λίθων καὶ μαργάρων,
If then we-want gold and stones and pearls
καὶ τὰς ψυχὰς ἀφήσομεν ἀντὶ λιθομαργάρων.
also the souls we-will-leave instead-of stones-and-pearls
Λοιπὸν ἀναχωρήσωμεν ἐν βαδισμῷ γενναίῳ(;).»
Then let-us-withdraw in step noble
Πρὸς ταύτην τοίνυν τὴν βουλὴν, τὸν λόγον τὸν τοῦ πρώτου,
To this therefore the counsel the word the of-the first
ὁ δεύτερος ἐλάλησεν· «φύγω κἀγὼ τοὺς ὄφεις·
the second spoke let-me-flee I-too the snakes
πόλεμον γὰρ μετὰ θηρῶν χωρὶς ἀνάγκης μάχης
war for with beasts without need of-battle
ὁ φρόνιμος ὁ στρατηγὸς ἀπαγορεύειν ἤδη(;).»
the prudent the general to-renounce already

Βουλὴ τοῦ τρίτου σταθηρὰ, ὅρμημα παρὰ φύσιν.
Counsel of-the third steadfast (an)-impulse beyond nature

Ὁ τρίτος πρὸς τὴν συμβουλὴν τοῦ πρώτου καὶ δευτέρου
The third at the counsel of-the first and second
οὐ πείθεται τοῖς ἀδελφοῖς, δειλὸν τὸ πρᾶγμα κρίνει
not is-persuaded by-the brothers cowardly the thing he-judges
καὶ λέγει· «κἂν τὸν θάνατον τοῖς ὀφθαλμοῖς μου βλέπω,
and says even-if the death with-the eyes my I-see
κἂν πρόδηλος ὁ κίνδυνος, κἂν φανερὸς ὁ Χάρων,
even-if manifest the danger even-if plain — Charon

***

(lacuna)

κάστρου τοσαύτην καλλονὴν, κάστρου τοσαύτην χάριν,
of-castle so-great beauty of-castle so-great grace

λίθους, μαργάρους καὶ χρυσὸν, αὐγὴν λυχνίτου τόσην.
stones pearls and gold gleam of-ruby such
Ἂν γὰρ τὸ τεῖχος ἔξωθεν ἔχῃ τοσαύτην χάριν,
If for the wall outside has so-great grace
τὰς ἔνδον πάλιν τίνος νοῦς χάριτας οὐ θαυμάσει;
the inside again whose mind graces not will-marvel-at
Λοιπὸν, κἂν εἴ τί με συμβῇ, κἂν εἴ τι πρόκειταί μοι,
Then even if anything me befalls even if anything lies-before me
ζητήσω τὴν εἰσέλευσιν, ἴδω τὴν ἔσω χάριν.
I-will-seek the entry I-will-see the inner grace
Τοίνυν ὑπάγετε καλῶς καὶ καρτερήσω μόνος,
Therefore go well and I-will-endure alone
τοὺς πόνους μόνος ὑποστῶ, τὰς ἡδονὰς τρυγήσω·
the toils alone I-will-undergo the pleasures I-will-gather
εἰ δὲ συμβῇ με κίνδυνος, περίστασιν εὑρήσω
if and befall me danger (a)-strait I-will-find
τὴν ἴσως με τύχῃ παθεῖν, ὅσα πολλοῖς συμβαίνει,
which perhaps me happen to-suffer as-much-as to-many happens
ἀντιμεταστραφήσονται καὶ μεταγυρισθῶσιν
will-be-turned-about and will-be-turned-round
τῶν φερομένων παρ᾽ ἡμῶν ἐπιβημάτων φύσεις.»
of-the borne by us steps (the)-natures

Λόγοι θλιβεροκάρδιοι τοῦ πρώτου πρὸς τὸν τρίτον.
Words heart-grieving of-the first to the third

Ὁ πρῶτος δὲ τῶν ἀδελφῶν πάλιν τὸν τρίτον λέγει·
The first and of-the brothers again to-the third says
«᾽Επεὶ τὸ μοιρογράφημα καὶ τὸν τροχὸν τῆς τύχης
Since the fate-writing and the wheel of-the fortune
οὐδεὶς ἀπέφυγέν ποτε, κἂν καὶ πολλὰ μοχθήσῃ,
no-one escaped ever even-if also much he-toils

ἰδοὺ καὶ σὲ τὸ τρόχωμαν τῆς τύχης περιφέρει
behold also you the wheeling of-the fortune carries-round
καὶ καταβάζει πρὸς αὐτὰς τὰς τοῦ θανάτου πύλας.
and brings-down to very the of-the death gates
Τί γάρ; Τοσοῦτον κίνδυνον ἐκὼν ἀναλαμβάνων
What for So-great danger willingly taking-up
καὶ παρὰ φύσιν πόλεμον καὶ παρὰ φύσιν μάχην,
and beyond nature war and beyond nature battle
ἂν οὐ νικήσῃς καὶ τραπῇς, λοιπὸν ἐθανατώθης.
if not you-conquer and are-routed then you-are-killed
Εἰ δ' οὐ τραπῇς, εἰ δ' οὐ τυθῇς, ἀλλ' ἴσως καὶ νικήσῃς,
If and not you-are-routed if and not you-are-slain but perhaps even you-conquer
ἄδηλον ἔχεις τὸ καλὸν, ἀμάρτυρον τὴν τύχην.»
unclear you-have the good unwitnessed the fortune
Ἀποχαρίζεται λοιπὸν ὁ πρῶτος πρὸς τὸν τρίτον
Gives-as-a-parting-gift then the first to the third
τὸ δακτυλίδιν τὸ χρυσὸν, ὃ παρὰ φύσιν εἶχεν.
the ring the golden which beyond nature had
«Εἰς δὲ μικρὸν ἀνασασμὸν, εἰς παρηγόρημά σου
For and little relief for comfort your
ἰδοὺ τὸ δακτυλίδιν μου τοῦτο χαρίζομαί σοι·
behold the ring my this I-give you
ἂν εἰς ἀνάγκην, μνήσθητι καὶ παρηγορηθήσῃ.
if in need remember and you-will-be-comforted
Ἂν γὰρ εἰς μέσον στόμα σου τὸ δακτυλίδιν βάλῃς,
If for into middle mouth your the ring you-put
ἐργάσεταί σε πτερωτὸν καὶ τοῦ κινδύνου φύγῃς.»
it-will-make you winged and from-the danger you-will-flee
Εὐθὺς κατεφιλήθησαν, ἐθρήνησαν, ἐκλαῦσαν,
At-once they-kissed lamented wept

ξένονται καὶ τὰς παρειὰς καὶ τύπτουσιν τὰ στήθη
they-tear also the cheeks and beat the breasts
καὶ τέλος ἀποχαιρετοῦν, ἀφίνουσιν τὸν τρίτον.
and (at)-last take-leave leave the third
Ἀποχαιρέτημα πικρὸν, μόνωσις μετὰ πόνου
Farewell bitter solitude with pain
καὶ στέρησις ἀδελφικὴ καὶ πάθος οὐκ ὀλίγον.
and bereavement of-brother and suffering not little
Ὁ τρίτος οὖν, περιδραμὼν μόνος τοῦ κάστρου γῦρον,
The third then having-run-round alone of-the castle (the)-circuit
τόπου μικρὰν ἀναψυχὴν εὑρὼν ὑψηλοτέραν
of-place (a)-small relief finding higher
καὶ πήξας τὸ κοντάριν του, τινάσσεται γενναίως,
and having-fixed the spear his vaults nobly
Ἔκφρασις πανεξαίρετος τοῦ κήπου καὶ τοῦ κάστρου
Description most-excellent of-the garden and of-the castle
τὸν εἶδεν ὁ Καλλίμαχος ὅταν εἰσῆλθεν μέσα.
which saw — Kallimachos when he-entered within
ὑπερπηδᾷ τὸ πύργωμαν μετὰ καλῆς ἀνδρείας
he-leaps-over the battlement with fine courage
καὶ παρευθὺς εἰς τὴν αὐλὴν τοῦ κάστρου πίπτει μέσα
and at-once into the court of-the castle falls inside
καὶ βλέπει τὰ παράδοξα, τὰ παρὰ φύσιν ὅλα,
and sees the marvels the beyond nature all
τὰς ἡδονὰς, τὰς χάριτας, τὰς καλλονὰς, τὰς τέρψεις.
the pleasures the graces the beauties the delights
Ἅπαντα τίνος λογισμὸς καὶ νοῦς ἐξαριθμήσει
All whose reckoning and mind will-number
καὶ τίνος γλῶσσα δυνηθῇ λαλῆσαι κατὰ μέρος;
and whose tongue can speak in detail

Εὐθὺς γὰρ ὡς ἐξ ἀπαρχῆς παράδεισος εὑρέθη
At-once for as from (the)-beginning paradise was-found
καρποὺς καὶ ὀπώρας, χάριτας, ἄνθη καὶ φύλλα γέμων,
fruits and autumn-fruits graces flowers and leaves full-of
ἀπὸ πνοῆς τὴν ἡδονὴν ὑπὲρ τὸν λόγον ἔχων,
from breath the pleasure beyond the word having
ἐκ δὲ τῆς ὄψεως αὐτῆς μείζονα πάλιν χάριν. 285
from and the sight itself greater again grace
Μόνον οὐκ εἶχεν κηπουρὸν ὁ τηλικοῦτος κῆπος
Only not it-had gardener the so-great garden
καὶ τὸ πολὺ τῆς ἡδονῆς ἐλαττωμένον εἶχε
and the much of-the pleasure diminished it-had
ἐκ τοῦ μὴ φαίνεσθαί τινα παρὰ τοῦ κήπου τότε.
from the not to-appear anyone by the garden then
Ἀλλ' ἵνα τί πολυλογῶ τὰ περισσὰ τοῦ κήπου
But that why do-I-talk-much the excess of-the garden
καὶ τὰς τοσαύτας χάριτας κατὰ λεπτὸν μὴ γράψας; 290
and the so-many graces in detail not writing

Ἔκφρασις πανεξαίρετος καὶ τοῦ λουτροῦ τοῦ κάστρου.
Description most-excellent also of-the bath of-the castle

Ἐντὸς τοῦ κήπου τοῦ καλοῦ καὶ τοῦ περιβολίου
Within the garden the fine and the enclosure
λουτρὸν εὑρέθη πάντερπνον, ὅλον ὡραιωμένον,
(a)-bath was-found all-delightful all beautified
ἐξαίρετον, πανθαύμαστον, χάριτας γεμισμένον.
excellent all-marvelous graces full-of
Τί πρῶτον εἴπω τοῦ λουτροῦ, τί δὴ καὶ γράψω πρῶτον, 295
What first I-say of-the bath what indeed and I-write first

τὸ μῆκος, τὴν λαμπρότηταν, τὴν ἐκ τοῦ κάλλους χάριν
the length the splendor the from the beauty grace
ἢ τὴν ὁλόφωτον αὐγὴν ἢ τῶν φυτῶν τὸ ξένον;
or the all-lit gleam or of-the plants the strangeness
Ἀπέσω γὰρ παρέκυπτεν εἰς τοῦ λουτροῦ τὸ πλάτος
Inside for peeped into of-the bath the breadth
ἀνθῶν καὶ φύλλων καὶ φυτῶν εὐώδης παρὰ φύσιν·
of-flowers and of-leaves and of-plants fragrant beyond nature
300 ὁ γὰρ τεχνίτης τοῦ λουτροῦ μετὰ πολλῆς τῆς πείρας
the for craftsman of-the bath with much the skill
θυρίδας ὑπετέχνωσε μετὰ τῶν σφαλισμάτων,
windows contrived with the shutters
καὶ τῶν θυρίδων τεχνικῶς ἐξεπανοιγομένων
and the windows cunningly being-opened-wide
εὐθὺς ἐντὸς παρέκυπτον τὰ τῶν εὐόσμων φύλλα.
at-once inside peeped the of-the fragrant leaves
Ἀντὶ δὲ τῶν πολυτελῶν ὀρθομαρμαρωμάτων
Instead-of and the costly upright-marble-facings
305 εἶχεν καθίρπτας τὸ λουτρὸν καὶ τὰς ἁρμόσεις τούτων·
had mirrors the bath and the joinings of-them
ἐκ μηχανῆς δὲ, τεχνικῶς καὶ ταύτης παραξένου,
by contrivance and cunningly and this strange
ὁ τοῦ λουτροῦ καὶ τοῦ θερμοῦ παχὺς ἀτμὸς νεφώδης
the of-the bath and of-the heat thick steam cloudy
οὐκ ἐπεσκέπαζε ποσῶς ἐκείνους τοὺς καθίρπτας,
not covered at-all those the mirrors
οὐδὲ τῶν λίθων ἤμβλυνε τὸ τηλαυγὲς ἐκείνων·
nor of-the stones dulled the radiance of-those

ἀλλ᾽ εἶνε ὑπερνέφελος ἡ τοῦ καθίρπτου φύσις
but is above-cloud the of-the mirror nature
καὶ νέφος οὐκ ἐσκέπαζεν τὴν τοῦ λυχνίτου χάριν.
and cloud not covered the of-the ruby grace
Ἡνίκα γὰρ παρέκυψες ἐκ τοῦ λουτροῦ τὴν θύραν,
When for you-peeped from the bath the door
εἰς τὸν καθίρπτην ἔβλεπες καὶ τὸ λουτρὸν ἐθώρεις
into the mirror you-looked and the bath you-saw
καὶ δένδρων φύλλα καὶ καρπῶν καὶ περιβόλιν ὅλον
and of-trees leaves and of-fruits and garden whole
ἐδόκεις βλέπειν ἐκ παντὸς εἰς τοὺς καθίρπτας πάλιν.
you-thought to-see in every-way in the mirrors again
Ὁ τροῦλλος ἦν ἀπὸ χρυσοῦ μετὰ λιθομαργάρων.
The dome was of gold with stones-and-pearls
ὁ δὲ τεχνίτης τὸν χρυσὸν εἰς δένδρον μεταπλάττει,
the and craftsman the gold into (a)-tree reshapes
ἀντὶ καρπῶν δὲ τεχνικῶς ἐνέθηκεν τοὺς λίθους.
instead-of fruits and cunningly he-set the stones

Ἔκφρασις τοῦ κοσμίτου.
Description of-the ornament

Ὁ δὲ κοσμίτης τοῦ λουτροῦ πλοκὴν ἐπλάκη ξένην·
The and ornament of-the bath (a)-braid was-braided strange
θαυμάζω χεῖρας τεχνιτῶν καὶ τοῦ χρυσοῦ τὴν φύσιν
I-marvel-at (the)-hands of-craftsmen and of-the gold the nature
πῶς ὁ χρυσὸς ὡς ἄμπελος τῇ σμίλᾳ συνεπλάκη
how the gold like (a)-vine by-the chisel was-twined
καὶ ταῖς χερσὶ τῶν τεχνιτῶν ὑπεδουλώθη τόσον.
and to-the hands of-the craftsmen was-enslaved so-much

Ἂν γὰρ πολλάκις ὀφθαλμοὺς ἀπῆρας ἀποκεῖθεν,
If for perhaps eyes you-had-taken from-there
εἶδες μεγάλην ἡδονὴν, ἄλλο τι θαῦμα μέγα.
you-would-have-seen great pleasure other some wonder great
Ἔγεμε τὸ ῥοδόσταμμα, ἐδόκει κυματίζειν,
Was-full the rose-water seemed to-wave
ἐκόχλαζεν, ἐκάπνιζεν καπνὸν ὀκάτι ξένον,
bubbled steamed steam somewhat strange
καπνὸν φρικτὸν δυνάμενον σαλεύειν τὴν καρδίαν.
steam dreadful able to-shake the heart
Ἀπὸ διστόματος χρυσοῦ καὶ κεφαλῆς ἀνθρώπου
From two-mouthed gold and head of-man
ἐκεῖνο τὸ ῥοδόσταμμαν φρικτῶς ἀποκενοῦτο.
that the rose-water dreadfully was-emptied
Ἂν εἶδες ἐκ παντὸς εἰπεῖν ζῶντος ἀνθρώπου στόμα,
If you-saw in every-way to-say of-living man (a)-mouth
οὕτως καὶ τοῦτο τεχνικῶς ὁ χρυσοχὸς ἐκεῖνος
so also this cunningly the goldsmith that
ἀπὸ χρυσοῦ μετέστησεν εἰς κεφαλὴν ἀνθρώπου.
from gold transformed into head of-man

Ἔκφρασις τῶν θυρῶν.
Description of-the doors

Αἱ θύραι πάλιν τοῦ λουτροῦ σύγκραμα μέγα, ξένον·
The doors again of-the bath (a)-compound great strange
ξύλον ὑγρὸν ἐκ τῆς Ἰνδῶν καὶ τῆς Ἀράβων χώρας
wood moist from the of-Indians and the of-Arabs land
καὶ μόσχος ἅμα σύμμικτα μετὰ τοῦ ξύλου τούτου.
and musk together mingled with the wood this

Καρδία γὰρ αἰσθητικὴ τὴν ἀπὸ τούτων χάριν
(A)-heart for perceiving the from these grace

***
(lacuna)

῞Εκφρασις τοῦ βηλοθύρου.
Description of-the curtain

Εἰς δὲ καὶ πάλιν τοῦ λουτροῦ τὴν ἐνδοτέραν θύραν
At and also again of-the bath the inner door
βηλόθυρον ἐκρέμετο πρὸς τὸ λουτρὸν ἁρμόζον.
(a)-curtain hung to the bath fitting
Καὶ γὰρ ἦν τὸ βηλόθυρον κρίνων καὶ ῥόδων ἄνθη·
And for was the curtain of-lilies and of-roses flowers
τῆς τέχνης τὸ παράξενον οὐ συνεχώρει βλέπειν. 340
of-the art the strangeness not allowed to-see
Ἀλλὰ καὶ τί πολυλογῶ καὶ κατὰ μέρος γράφω;
But also why do-I-talk-much and in detail write
Ἁπλῶς ἂν εἶδες τὸ λουτρὸν, λιποθυμήσω, πέσω
Simply if you-saw the bath I-faint I-fall
καὶ ζήσω λιποθύμημα καὶ χάριν ἀνασάνω(;).
and I-live (a)-swoon and grace I-breathe-again
Ἐν τούτοις πᾶσιν ἄνθρωπος ποσῶς οὐδὲν εὑρέθη·
In these all man at-all not was-found
ὅθεν ἐκεῖνος ἀπορῶν τὴν ἐρημανθρωπίαν, 345
whence he being-at-a-loss-at the absence-of-men
ἀναζητεῖν γὰρ ἤθελεν, ἰχνεύειν καὶ γυρεύειν
to-search for he-wished to-track and to-seek
καὶ λέγειν καὶ διερευνᾶν ταῦτα κατὰ τὸν νοῦν του·
and to-say and to-search-out these(-things) in the mind his

«πάντως ἐτοῦτο τὸ λουτρὸν οὐκ ἔνι δίχ᾽ ἀνθρώπου.»
surely this the bath not is without man

Ἔκφρασις τοῦ καμινίου.
Description of-the furnace

Εἰς τὸ καμίνιν τὸ λοιπὸν ἐπῆγεν, ἀνεστάθην
To the furnace the then he-went he-stood-up
καὶ καμινάριν τοῦ λουτροῦ γυρεύει νὰ ἐγνωρίσῃ.
and furnace-keeper of-the bath he-seeks that he-may-find-out
Ἐπῆγεν, ἀνεζήτησεν· ἄνθρωπον μὲν οὐκ εἶδεν,
He-went he-searched (a)-man indeed not he-saw
τὸ δὲ καμίνιν εὗρηκεν ἀνάπτον μοναχόν του
the and furnace he-found burning alone —
χωρίς τινος τοῦ συνεργοῦ, χωρίς τινος ἀνθρώπου
without any the helper without any man
καὶ ξυλαλόην ἰνδικὴν ἀντὶ τῶν ξύλων γέμον.
and aloe-wood Indian instead-of the logs full-of

Ἔκφρασις τῆς τραπέζης.
Description of-the table

Μετὰ τὸ κάλλος τοῦ λουτροῦ ***
After the beauty of-the bath (lacuna)
καὶ τἄλλα τὰ παράξενα καὶ τὰ θαυμάτων πλήρη,
and the-rest the marvels and the(-things) of-wonders full
εὑρέθη τραπέζα λαμπρὰ, λαμπρῶν βρωμάτων πλῆθος·
was-found table splendid of-splendid foods (a)-host
φιλότιμος ἡ τράπεζα, πολυτελεῖς οἱ μῖσσοι,
lavish the table costly the dishes

οὓς κατὰ μέρος ἐξελθεῖν οὐκ ἐξαρκέσει λόγος
which in detail to-go-through not will-suffice word
πολλὰς τροφὰς ἐξαριθμεῖν καὶ πολυπλόκους μίσσους
many foods to-count and intricate dishes
καὶ παρατρέχειν ἡδονὰς καὶ χάριτας με γράφειν.
and to-run-through pleasures and graces me to-write
Ἡ τράπεζα πολυτελὴς, τὰ σκεύη τῆς τραπέζης
The table costly the vessels of-the table
ἀπὸ χρυσοῦ μετὰ πολλῶν ἐξόχων τεχνωμάτων·
of gold with many outstanding workmanships
νὰ κατεπλάγης ἐκ παντὸς τοῦ χρυσοχοῦ τὰς χεῖρας.
that you-would-have-been-astounded in every-way of-the goldsmith the hands
Ἐν ὅλοις τούτοις τοῖς καλοῖς καὶ φιλοτίμοις πᾶσιν
In all these the good(-things) and lavish all
ἄνθρωπος οὐ παρέτρεχεν, οὐκ ἦν ἀνθρώπου φύσις,
man not passed not was of-man (a)-kind
οὐ φύλαξις τῆς τράπεζας, οὐ φύλαξις τῆς πόλις,
not guard of-the table not guard of-the city
οὐδ' ὑπηρέτης τῶν πολλῶν πολυτελῶν βρωμάτων.
nor servant of-the many costly foods
Καὶ τοῦτο ζάλην περισσὴν καὶ σύγχυσιν εἰσῆγεν
And this turmoil great and confusion brought-in
καὶ θόρυβον καὶ ταραχὴν εἰς τὴν ψυχὴν ἐκείνου.
and tumult and trouble into the soul his

Περὶ τῆς κλίνης τῆς λαμπρᾶς ἐκείνης ἀφηγεῖται.
Of the bed the splendid that he-tells

Κλίνη λαμπρὰ, πολύτιμος, χρυσῆ μετὰ μαργάρων,
(A)-bed splendid precious golden with pearls
κοκκίνων λίθων τηλαυγῶν οὓς λέγουσι λυχνίτας.
of-red stones radiant which they-call rubies

Ἐκεῖνος, τὴν λαμπρότητα τῆς κλίνης ἀτενίσας
He the splendor of-the bed having-gazed-at
καὶ τὴν στρωμνὴν τὴν πάγχρυσον
and the coverlet the all-golden
— ἦν γὰρ χρυσοῦν τὸ στρῶμα —
was for golden the mattress
καὶ τῆς τροφῆς τὸ τρυφηλὸν τὸ ἀπὸ τῶν βρωμάτων
and of-the food the luxury the from the dishes
καὶ βλέπων πάντα τὰ λαμπρὰ παντὸς ἀνθρώπου δίχα,
and seeing all the splendid(-things) of-every man without
πολλὰ συνεταράττετο, πολλὰς ἐννοίας εἶχεν,
much he-was-troubled many thoughts he-had
λέγων· «καὶ πόθεν ὁ χρυσὸς συνεφοράθη τόσος
saying and whence the gold was-brought-together so-much
καὶ τίς συνάξας ἔφερεν τοὺς τηλικούτους λίθους;
and who having-gathered brought the so-great stones
οὕτως ἐκένωσεν ἁπλῶς εἰς μὴ χρησίμους τόπους.
thus he-emptied simply into not useful places
Χρῆσις ἀνθρώπων καὶ χρυσὸς καὶ μάργαρος καὶ λίθοι.
Use of-men both gold and pearl and stones
Πάντως οὐδέν τι τὸ κοινὸν ἐξαπορῶ καὶ τρέμω.
Surely not anything the common I-am-at-a-loss and tremble
Τοσοῦτον κόσμον ἄμετρον χωρὶς ἀνθρώπου βλέπω,
So-great finery measureless without man I-see
χωρὶς δεσπότου καί τινος ἐνδεχομένου τρόπου.
without master and any acceptable way
Φοβοῦμαι τὰ παράδοξα καὶ παρὰ φύσιν ταῦτα
I-fear the marvels and beyond nature these
μήπως καὶ τίποτε κακὸν ἔχουσι κεκρυμμένον.»
lest-perhaps also some evil they-have hidden

Εἶπεν εἰς νοῦν, ἐλάλησεν ταῦτα μετὰ φροντίδος·
He-said in mind spoke these(-things) with care
εἰς τὸ κρεββάτιν τὸ λαμπρὸν ἐκάθησεν ἐπάνω,
on the couch the splendid he-sat upon(-it)
ἔφαγεν ὅσον ἄνθρωπος θορυβισμένος τρώγει,
ate as-much-as (a)-man disturbed eats
ἀνέστη πάλιν· τράπεζαν εὗρεν ἐγγὺς ἑτέραν,
he-rose again table he-found near another
ἄλλην μὲ τὴν λαμπρότηταν, ἄλλην μὲ τῶν χαρίτων.
other with the splendor other with of-the graces
Λίθινα σκεύη παρ᾽ αὐτῆς, τῶν πολυτίμων λίθων.
Stone vessels by it of-the precious stones
Εἰς σκεύη μετελάξευσε παντοδαπὰ, ποικίλα
Into vessels he-carved of-all-kinds varied
πελάξιν λίθον τηλαυγῆν, λυχνίτην ἄλλον λίθον,
(a)-balas stone radiant ruby other stone
εἰς σκεύη μετετέχνωσεν ὑδατοφόρα πάντα,
into vessels he-worked water-bearing all
ἐκλαξευθέντων τεχνικῶς ἐξ ὑακίνθου λίθου
carved cunningly from hyacinth stone
τῶν ἐκπωμάτων τῶν λαμπρῶν τραπέζης τῆς δευτέρας.
of-the cups the splendid of-table of-the second
Ἐκφράζει, λέγει τεχνικῶς ὡς ἦσαν λαξευμένα.
He-describes says cunningly how they-were carved
Πολλοὺς *** τοὺς λαμπροὺς τοὺς πολυτίμους πάντας
Many (lacuna) the splendid the precious all
***
(lacuna)

Πρὸς τὴν δευτέραν τράπεζαν μετέθηκεν ἐκεῖνα
To the second table he-transferred those
οἶνων μεστὰ παντοδαπῶν, παντοίων τε πωμάτων·
of-wines full of-all-kinds of-all-sorts and drinks
χιόνες ἦσαν κείμενοι καὶ κρύσταλλοι καὶ πάγοι
snows were lying and crystals and ices
εἰς ψυχοπαρηγόρημαν παντὸς καυματωμένου.
for soul-comfort of-every scorched(-man)
Ἀλλὰ καὶ τί πολυλογῶ καὶ τὰ περὶ τὴν πόσιν;
But also why do-I-talk-much and the(-things) about the drinking
Ὡς ἂν ἀπὸ τοῦ καύματος καὶ τῆς ὁδοῦ τὸ μῆκος
As — from the heat and of-the road the length
καὶ μᾶλλον ἐκ τὴν μόνωσιν ἐκεῖνος φλογισμένος
and rather from the solitude he inflamed
— πολλή γὰρ ἦν ἡ μόνωσις τοῦ παραξένου ∗∗∗, —
much for was the solitude of-the strange(-place) (lacuna)
ψυχρὸν εἰς κόρον ἔπιεν, ἀνέσανεν ὀλίγον,
cold to fill he-drank he-breathed-again (a)-little
κἂν ὅσην καὶ τὴν πνιγμονὴν εἶχεν ἐκεῖνος τότε.
at-least as-much also the choking had he then
Καὶ πάλιν ἦν ἀγανακτῶν καὶ πάλιν ἦν φροντίζων
And again was being-vexed and again was worrying
καὶ σφόδρα δειλαινόμενος τὴν ἐρημανθρωπίαν.
and greatly fearing the absence-of-men
Ὅμως μετεβημάτισεν, μικρὸν μετεκινήθην
Yet he-stepped-on (a)-little moved-on
καὶ πάλιν ἄλλην καλλονὴν καὶ χάριν ἄλλην εἶδεν.
and again other beauty and grace other saw

Καὶ τὸ κελλὶν τοῦ δράκοντος ὡς εὗρεν ἀφηγεῖται.
And the chamber of-the dragon how he-found he-tells

Εὗρε κελλὶν ὁλόχρυσον· ὦ! τίς τὴν χάριν εἴπῃ
He-found chamber all-golden O who the grace may-tell

κἂν τὰς τοσαύτας καλλονὰς τίς ἀριθμήσει λόγος;
even the so-many beauties what will-number word

Ἦν ὅλον χάρις τὸ κελλὶν καὶ τῶν χαρίτων οἶκος.
Was whole grace the chamber and of-the graces house

Εἶχεν ἐκεῖνο τὸ κελλὶν — ἀλλὰ καὶ πῶς ἐκφράσω; —
Had that the chamber but also how shall-I-describe

ὁλοχρυσομαργάρωτον, κατάχρυσον τὴν στέγην,
all-gold-and-pearl-set gilded the roof

πλὴν οὐχ ἁπλῶς κατάχρυσον καὶ μεμαργαρωμένην,
but not simply gilded and pearl-set

οὐδ' ἀπὸ λίθων τηλαυγῶν τὸν κόσμον εἶχεν μόνον,
nor from stones radiant the adornment had only

ἀλλ' εἶχεν στέγην οὐρανὸν καὶ τοὺς ἀστέρων δρόμους
but it-had (for)-roof heaven and the of-stars courses

— θαυμάζω πῶς τὸν οὐρανὸν καὶ τοὺς ἀστέρων δρόμους, —
I-marvel how the heaven and the of-stars courses

μετὰ πανσόφου μηχανῆς καὶ τέχνης παραξένου.
with all-wise contrivance and art strange

Τὸ στέγασμα τὸ πάγχρυσον ἐκείνου τοῦ κελλίου
The roofing the all-golden of-that the chamber

ὁ Κρόνος ἦν ὡς ἐν χερσὶν τὸν οὐρανὸν συνέχων
— Kronos was as in hands the heaven holding

καθήμενος ἐφ' ὑψηλοῦ θρόνου, λευκὸς τὰς τρίχας·
seated on high throne white the hair

ἐκεῖ καὶ Ζεὺς ἱστόρητο λευκὸς οὐρανοδρόμος
there also Zeus was-painted white sky-runner
ὥσπερ τις μέγας βασιλεὺς, δυνάστης ἐπηρμένος,
like some great king potentate proud
αὐθέντης ὅλων τῶν ἀρχῶν καὶ τῶν στεμμάτων ὅλων.
lord of-all the realms and of-the crowns all
Ἀστὴρ ἐκεῖθεν ἔλαμπεν λαμπρὸς τῆς Ἀφροδίτης
Star from-there shone bright — of-Aphrodite
ἔχων ἀκτῖνας τηλαυγεῖς, ἡδονικὰς, ὡραίας·
having rays radiant pleasurable lovely
καὶ μετ᾽ αὐτὸν ἱστόρησεν τὸν Ἄρην ὁ τεχνίτης
and after it painted — Ares the craftsman
ἐρωτικῶς συμπαίζοντα μετὰ τῆς Ἀφροδίτης.
amorously playing with — Aphrodite

III · THE HANGING MAIDEN

Beneath the painted heavens Kallimachos finds a maiden, Chrysorrhoe, hanging by her hair. She hides him under a silver basin from the man-eating dragon, which beats her, eats, and sleeps. His own sword failing, she sends him for the dragon's, and with it he cleaves the beast and frees her. He tells her his race, and when she, weeping, will not tell hers, he presses her.

Εἶχεν ἐκεῖ τὴν Ἀθηνᾶν ἐν θρόνῳ καθημένην
It-had there — Athena on (a)-throne seated
καὶ διακοσμούσας Χάριτας τὸν οὐρανὸν ἐκεῖνον.
and adorning Graces the heaven that

Ἐν μέσῳ τούτων συμπλοκὰς πολλῶν ἀστέρων εἶχεν.
In (the)-midst of-these clusters of-many stars it-had

Ἄρξεται τὸ ὀδυνηρόν.
Will-begin the grievous(-part)

Τὸ μεῖζον τούτων, τεχνικῶς τὴν στέγην ὁ τεχνίτης
The greater of-these cunningly the roof the craftsman
ἐποῖκεν ἄλλον οὐρανὸν, ἐποῖκεν ἄλλον πρᾶγμα·
made other heaven made other thing
οὐρανοδρόμον ἕτερον ἐφόρεσεν ἐντέχνως
sky-running another he-clothed artfully
μετὰ πολλῆς καὶ θαυμαστῆς τῆς ἀριστοτεχνίας.
with much and marvelous the masterly-art
Ἀλλ' εἶχεν λύπην οὐρανὸς, εἶχεν πολλὴν πικρίαν,
But had grief (the)-heaven had much bitterness
εἶχεν πολὺν τὸν στεναγμὸν καὶ τὰς ἀγανακτήσεις.
had much the groaning and the vexations
Καὶ τίς ἐκεῖνο τὸ πικρὸν χωρὶς ὀδύνης εἴπῃ,
And who that the bitter without pain may-tell
τίς οὐ κενώσει ποταμοὺς δακρύων πρὸ τοῦ λόγου,
who not will-empty rivers of-tears before the word
τίς οὐ ῥαγῇ τὴν αἴσθησιν καὶ συντακῇ καρδίαν;
who not will-be-torn the sense and will-melt (in)-heart
Τὴν κόρην ὡς ἐκρέματο στενάζων ἀνεκφράζει.
The maiden how she-hung groaning he-describes
Ἐν μέσῳ γὰρ — ἀλλὰ πολὺν ὁ λόγος πόνον ἔχει —
In (the)-midst for but much the word pain has
ἐκ τῶν τριχῶν ἐκρέματο κόρη μεμονωμένη.
by the hair hung (a)-maiden left-alone

— Σαλεύει μου τὴν αἴσθησιν, σαλεύει μου τὰς φρένας. —
Shakes my the sense shakes my the wits
Ἐκ τῶν τριχῶν — αἲ φρόνημα παράλογον τῆς τύχης —
By the hair ah purpose unreasonable of-the fortune
ἐκ τῶν τριχῶν ἐκρέματο κόρη. Σιγῶ τῷ λόγῳ,
by the hair hung (a)-maiden I-fall-silent in-the word
ἰδοὺ σιγῶ, μετὰ νεκρᾶς καρδίας τοῦτο γράφω,
behold I-fall-silent with dead heart this I-write
ἐκ τῶν τριχῶν ἐκρέματο κόρη μὲ τῶν χαρίτων·
by the hair hung (a)-maiden with the graces
ἣν μόνον ἀτενῶς ἰδὼν ὁ τρίτος παῖς ἐκεῖνος,
whom only intently seeing the third son that
ὁ τρίτος παῖς Καλλίμαχος, τὸ κάλλος τῶν ἐρώτων,
the third son Kallimachos the beauty of-the loves
ἡ τολμηρὰ καὶ δυνατὴ καὶ στεναρὰ καρδία,
the daring and strong and stout heart
καὶ παρευθὺς ἐπέμεινεν ὡς λίθος εἰς τὸν τόπον.
and at-once remained like stone in the place
Ἔβλεπεν μόνον ἀτενὲς, ἵστατο μόνον βλέπων,
He-looked only intently stood only looking
εἶναι καὶ ταύτην ἔλεγεν ἐκ τῶν ζωγραφημάτων.
to-be also her he-said of the paintings
Οὕτως τὸ κάλλος δύναται ψυχὰς ἐξανασπάσαι,
Thus the beauty can souls draw-out
ἁρπάσαι γλώσσας καὶ φωνὰς, καρδίας ἐκνεκρῶσαι.
seize tongues and voices hearts deaden
Ἐκεῖνος μὲν, τῆς γυναικὸς, τῆς κόρης τῆς παρθένου
He indeed of-the woman of-the maiden of-the virgin
τοσαύτας βλέπων χάριτας καὶ τὸ τοσοῦτον κάλλος,
so-many seeing graces and the so-great beauty

ἵστατο βλέπων ἀτενῶς, καρδίας ἀνεσπᾶτο,
stood looking intently (in)-heart was-drawn-out
ἵστατο βλέπων, μὴ λαλῶν, ἀπὸ διπλοῦ τοῦ τρόπου·
stood looking not speaking from double the cause
τὸ κάλλος ἐξεπλήττετο, τὸν πόνον συνεπόνει·
the beauty he-was-astounded-at the pain he-shared
καὶ μόνον ἀναστέναξεν ἀπὸ ψυχῆς θλιμμένης.
and only he-groaned from soul afflicted
Ἐκείνη δὲ μετὰ πικροῦ καὶ θλιβεροῦ τοῦ τρόπου, 470
She and with bitter and grievous the manner
μετὰ φωνῆς ὀδυνηρᾶς καὶ κεκαυμένης γλώττης
with voice painful and burned tongue
Ἀπόκρισις περίλυπος τῆς κόρης πρὸς τὸν νέον·
Answer very-grieved of-the maiden to the youth
λέγει πρὸς τοῦτον· «ἄνθρωπε, τίς εἶσαι, πόθεν εἶσαι;
says to him man who are-you whence are-you
Εἰ δ' ἴσως εἶσαι φάντασμα ἀνθρώπου φύσιν ἔχον,
If and perhaps you-are (a)-phantom of-man (the)-nature having
